## Πρότ. ΛΑ΄.

„ Αἱ φυσικαὶ γενέσεις καὶ φθοραὶ διαθέσεις εἰσὶ ποικίλαι, καὶ διορισμοὶ „ παντοῖοι τῶν πρεσβυγενῶν οὐσιῶν κατὰ τοὺς νόμους τῆς φύσεως.

## Δεῖξις.

Αἱ γὰρ γενέσεις αὗται καὶ φθοραὶ οὐκ εἰσὶν ἐκ τοῦ μηδενὸς παραγωγαὶ (Πόρ. Β΄. τῆς ΚΘ΄.), οὐδὲ φθοραὶ εἰς τὸ μὴ ὂν (Πρ. Λ΄.). Ἄρα εἰ μηδὲν ἄλλο λείπεται φάναι, διαθέσεις εἰσὶ τῶν πρεσβυγενῶν οὐσιῶν. Ὅτι δὲ κατὰ νόμους τῆς φύσεως ἐν ἄλλοις δειχθήσεται οἰκειότερον.

## Προτάσεις ἐπὶ τὸ Γ΄. Κεφ. ἀναφερόμεναι.

## Πρότ. ΛΒ.

„ Μεταβαλλούσῃ τῇ οὐσίᾳ ἀνάγκη καὶ τὴν φύσιν συμμεταβάλλειν. Ἡ „ δὲ φύσις μεταβάλλουσα, τοῦ συμμεταβληθῆναι τὴν οὐσίαν λαμπρὸν τυγχά„ νει τεκμήριον. Ὥσπερ δὴ καὶ φύσεως μεταβληθείσης ἤδη δεῖγμα σαφὲς, τὸ „ μὴ τὰ αὐτὰ ἀποτελέσματα ἐκ τοῦ αὐτοῦ πράγματος ἕπεσθαι.

## Σχόλιον.

Πρὸς τὰ τῶν σωμάτων αἴτια, καὶ τὰς τούτων δυνάμεις τεῖνει τἀξίωμα, δι' οὗ καὶ τὴν φύσιν τῶν τε ὀρυκτῶν, καὶ φυτῶν, καὶ φαρμάκων, καὶ τῶν ὁμοίων σταθμώμεθα. Ὃ δὲ περὶ τῆς μεταβολῆς τῶν οὐσιῶν φαμὲν, ἃς ἀτρέπτους ὁ κοινὸς βούλεται λόγος, νοητέον μὴ περὶ τῶν ἀρχετύπων (ὅρ. κη΄.), ἀλλὰ περὶ τῶν ἐν πράγμασιν ὑφεστωσῶν· τούτων γὰρ ἐν διηνεκεῖ ῥοῇ οὐσῶν, ἐκεῖναι μόναι τὸ ἑδραῖον ἀεὶ καὶ ἄτρεπτον διασώζουσιν, ἃς μόνας, καὶ τῇ κλήσει τῆς οὐσίας ἐξῃρημένας, περισημαίνειν ἠξίου τὸ δόγμα τοῦ Πλάτωνος (1).

## Πρότ. ΛΓ΄.

„ Αἱ τῶν πραγμάτων ἀρχέτυποι οὐσίαι αἱ νοηταὶ μεταβολῆς οἱασοῦν „ εἰσὶ κρείττονες· αἱ δὲ γεγονυῖαι μεταβληταί.

## Δεῖξις.

Ἐκεῖναι γὰρ ἐν τῷ δημιουργῷ νῷ περιέχονται (ὅρ. κη΄.). Ἐπεὶ δ' ὁ νοῦς ἐκεῖνος αἰώνιος (ἐξ ὑποθ.) ὂν ἐστιν ἀναγκαῖον κατά τε ὕπαρξιν καὶ οὐσίαν (Πρ. ΙΔ΄.), ἤτοι ἄτρεπτος (ὅρ. ιβ΄.). Ἀλλ' ἐστιν ὂν ἁπλοῦν (Πρ. ΙΖ΄.)· ὅ,τι ἄρα ἐν αὐτῷ ἐστὶν, ἓν ἐστὶν, αἰώνιόν τε καὶ ἄτρεπτον. Αἱ ἄρα οὐσίαι ἐκεῖναι ἄτρεπτοι. Ο. Η. τὸ Α΄.

---

(1) Ἐν Τιμαίῳ.

Εἶτα αἱ δημιουργηθεῖσαι ȣ̓δὲν αἰώνιον ἔχȣσιν· οὐ γὰρ δι ȣ̓σιώδης προβλύσεως ἐκ τῆς αἰωνίȣ οὐσίας (Πρ. ΚΗ'.) εἰσὶν, ἀλλ' ἐκ τȣ̃ μηδενὸς (Πρ. ΚΘ'.). Εἰσὶν ἄρα ὄντα ἐνδεχόμενα (ὁρ. ιζ'.), καὶ διὰ τȣ̃το φύσει τρεπτά (Πρ. Ις'.).

## Σχόλιον.

Τὰς νοητὰς ταύτας κατ' ἐξοχὴν οὐσίας ἀπεκάλει ὁ Πλάτων, καὶ τȣ́των οἱονεὶ ἀρχετύπων τὰ ἔκτυπα εἶναι τὰς ἐν τῷ αἰσθητῷ κόσμῳ ȣ̓σίας (1). Ἐπειδὴ δὲ τὴν πρώτην ὕλην, ἤτοι τὰς μονάδας, ἢ τὰ ἄτομα, ἀπ' αἰῶνος ὑφεστηκέναι ἐδόξαζεν ὁ Φιλόσοφος ȣ̂τος, ἐκ τȣ́τȣ ἕπεται τῶν νόων καὶ τῶν δραστηρίων μόνον δυνάμεων καὶ τῶν συνθέτων ὄντων, ȣ̓χὶ δὲ καὶ τῶν πρωτίστων, καὶ ἀπλȣστάτων οὐσιῶν τῶν ἐν τοῖς σώμασι τὰς οὐσίας, τῶν αἰωνίων ἐκείνων καὶ ἀρχετύπων ȣ̓σιῶν κατ' αὐτὸν τυγχάνειν ὑποδείγματα.

Εἰδέτις εἴποι, ὅτι ȣ̓κ ἄρα ὁ αἰσθητὸς τῷ νοητῷ ἀφωμοίωται, ἅτε δὴ τροπῇ ὑποκείμενος τῷ ἀτρέπτῳ, ἔνθεντοι ȣ̓δ' ὑπὸ Θεȣ̃ νοεῖται, ἀπαντητέον ὅτι καὶ ἅπασαι αἱ τȣ̃ αἰσθητȣ̃ κόσμȣ τροπαὶ ταῖς ἀτρέπτοις καὶ αἰωνίοις ἰδέαις ὡς ἔχȣσιν ȣ̂τω καὶ παρίστανται.

## Πρότ. ΛΔ'.

„Ὑπάρχȣσιν ἐν τῷ ὄντι τῷ αἰωνίῳ ȣ̓σίαι νοεραὶ τὸν ἀριθμὸν ἄπειροι. Ἐν „τῷ νῷ μὲν, ὡς ἐν δυνάμει νοερῶς δημιȣργῷ· ἐν δὲ τῇ οὐσίᾳ τȣ̃ Θεȣ̃, ὡς ἐν „ἀπείρῳ τελειότητι ἐξόχως· ἐν δὲ τῇ παντοδυναμίᾳ, ὡς ἐν αἰτίᾳ τȣ̃ δυνα„τὰ εἶναι τὰ ὄντα ἐξωτερικῶς.

## Δεῖξις.

Οἱ πρώτιστοι τῶν ἐνδεχομένων ἀποχρῶντες λόγοι εἰσὶν ἐν τῷ ὄντι τῷ αἰωνίῳ (Πρ. ΙΓ'.). Εἰσὶ δὲ ἐνδεχόμενα καὶ τὰ γεγονότα (Πρ. ΙΗ'.), καὶ τὰ δυνατὰ (Πρ. ΙΒ'.), ἤτοι ἄπειρα ταῦτά ἐστιν ὡς δῆλον. Ἄρα τῶν ἀπείρων ἐνδεχομένων οἱ λόγοι οἱ ἀποχρῶντες εἰσὶν ἐν τῷ ὄντι τῷ αἰωνίῳ. Ἤδη δὲ οἱ λόγοι οὗτοι καὶ τῇ δυνάμει ἐμπεριέχονται, καὶ ταῖς ἀκραιφνέσι, καὶ αἰωνίαις τῶν ἐνδεχομένων ἰδέαις (τὸ γὰρ αἰώνιον ἄτρεπτον ὂν (Πρ. ΙΔ'.), καινὰς ἰδέας ȣ̓κ ἐπιδέχεται), καὶ ταῖς τελειότησι τῶν ἐνδεχομένων, αἳ τȣ̓λάχιστον ἐξόχως ἔνεισιν ἐκείνῳ ὑπερτελεῖ πεφυκότι (Πρ. Γ'.). Ἄρα αἱ νοεραὶ οὐσίαι τὸν ἀριθμὸν ἀπερίληπτοι, κτ:.

---

(1) Ἐν Τιμαίῳ.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ... ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.Α.Π. ΙΩΑΝΝΙΝΑ 2006

## Πρότ. ΛΕ΄.

„Πάντα τὰ δυνατὰ συςήματα, ἤτοι ἅπασαι τῶν δυνατῶν οὐσιῶν αἱ τά-
„ξεις, τῶν ἐν ταῖς αἰωνίοις ἰδέαις, τῇ νοήσει τȣ͂ αἰωνίȣ ὄντος ἐμπεριέχονται.

## Δεῖξις.

Εἰ μὴ γάρ, δυνατὸν τῷ αἰωνίῳ ὄντι καινὰς ἐννοίας τῶν δυνατῶν ἐκείνων συςημάτων προσαναφύεσθαι. Ἀδύνατον δέ, ὅτι τὸ αἰώνιον ϗ ἄτρεπτον (Πρ. ΙΔ΄.). Ἄρα κτ.

## Πρότ. Λς΄.

„Τὰ συςήματα ἐκεῖνα ȣ̓κ ἂν εἴη πάντη κατὰ τὸ δοκȣ͂ν· δεῖ δὲ ἐκ τῶν
„οὐσιῶν τῶν δυνατῶν ἀναφύεσθαι, ϗ ταύταις συναφομοιȣ͂σθαι.

## Σχόλιον.

Σχεδὸν ἀξίωμα τὸ προτεθέν. Ἡ γὰρ θέλησις διορισμὸς τυγχάνει τȣ͂ νȣ͂, ἀπὸ τῆς διανοήσεως ἠρτημένος. Ἡ δὲ διανόησις τῶν οὐσιῶν ἐκείνων ȣ̓δὲν πέφυκεν ἀναπλάττειν, ὃ μὴ ᾖ ἐν τῷ αἰωνίῳ νῷ. Τὰ ἄρα συςήματα ἐκεῖνα τῶν δυνατῶν οὐσιῶν νοεῖ ὡς ἐξ αὐτῶν τῶν δυνατῶν οὐσιῶν ἀναφυόμενα, καὶ ταύταις συναφομοιȣ́μενα. Αἱ τάξεις ἄρα ἐκεῖναι ϗ τὰ συςήματα ἀπὸ τῆς τȣ͂ Θεȣ͂ βȣλήσεως, κατὰ τὸ τί ἦν εἶναι, ȣ̓δαμῶς εἰσὶν ἠρτημένα.

## Πρότ. ΛΖ΄.

„Τῶν δεδημιȣργημένων ὄντων, ϗ τῶν ἐν αὐτοῖς τάξεων αἱ οὐσίαι, τῷ
„τȣ͂ Θεȣ͂ νῷ προσοφείλονται, ἡ δὲ ὕπαρξις τῇ βȣλήσει.

## Δεῖξις.

Τὸ Α΄. μέρος δῆλον ἐκ τῆς ΛΔ΄. ϗ ΛΕ΄. Τὸ δὲ Β΄. ἐντεῦθεν δείκνυται, ὅτι ἐπεὶ τὰ δημιȣργήματα ȣ̓ δι᾽ ȣ̓σιώδȣς εἰσὶ προβλύσεως ὑφεςῶτα (Πρ. ΚΗ΄.), οὐδὲ αἰώνια, ἄρα τῇ Θεȣ͂ βȣλήσει ὑπέςησαν. Σημειωτέον ἄρα ἀκριβῶς ἐπὶ πάντων τὴν ἀρχὴν τῆς οὐσίας ϗ της ὑπάρξεως.

## Πρότ. ΛΗ΄.

„Πλεῖςα δυνατῶν οὐσιῶν συςήματα ἐςὶ δυνατά.

## Δεῖξις.

Αἱ οὐσίαι αὗται παρίςανται ὡς πράγματι διακεκριμέναι, ϗ ἑπομένως ὡς ἕτεραι ἢ δῆλον. Δυνατὸν δὲ ἑκάςην ἑκάςῃ παραβάλλεσθαι (Σχόλ. Προτ. ΚΔ΄.). Ἀναφύονται ἄρα ἐντεῦθεν ποικίλαι σχέσεις, ϗ ἄπειρα δυνατὰ συςήματα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Ο ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ... ΙΩΑΝΝΙΝΑ 2006

## Πρότ. ΛΘ'.

„Δυνατὰ ἐστὶ συστήματα ἐκ πλειόνων ἄλλων ἁπλουστέρων συστημάτων σύν-
„θετα. Ὥσπερ γὰρ οὐσία οὐσίᾳ δύναται παρατεθῆναι, καὶ πρώτην τε καὶ ἁπλῆν
„οὐσιῶν σειρὰν συναποτελέσαι, οὕτω καὶ σειρᾶς ἁπλῆς ἁπλῇ ἑτέρᾳ παρατι-
„θεμένης, καὶ ἄλλης ἄλλη, καὶ ἐφεξῆς, ἐντεῦθεν συστήματα ἐκ πλειόνων τά-
„ξεων σύνθετα ἀναφύεται.

## Πρότ. Μ'.

„Ἑκάστη τῶν τοιούτων τάξεων θεσμοῖς ἰδίοις ἰθύνεται, καὶ αἱ διῃρημέναι
„σειραὶ θεσμοῖς ὡσαύτως διῃρημένοις καὶ διαφέρουσι, οὕτως ἀλλ' οὖν ὥστε τοὺς
„θεσμοὺς ἑκάστων τῶν τάξεων ταῖς συνιστώσαις αὐτὰς οὐσίαις εἶναι προσήκον-
„τας. Ἐπειδὴ γὰρ αἱ τάξεις αὗται ἀπὸ τῶν οὐσιῶν εἰσὶν ἠρτημέναι (Πρ. Λϛ'.),
„ἐξ αὐτῶν ὡσαύτως δέον καὶ τοὺς νόμους τὴν ἀρχὴν ἔχειν, καθ' οὓς ἂν διατηρη-
„θεῖεν αἱ τάξεις κατὰ τὸ τοῦ Δημιουργοῦ τέλος.

## Πρότ. ΜΑ'.

„Ἐπειδὴ τὰ συστήματα ταῦτα ἐπίσης εἰσὶ ταῖς οὐσίαις σύμφωνα (Πρ.
Λϛ'.), εἰσὶ καὶ ἐπίσης τέλεια.

## Σχόλιον.

Εἰσὶν οἱ τῶν φιλοσόφων τὸν ὑφεστῶτα κόσμον τῶν δυνατῶν ἁπάντων ἡγοῦνται ὑπερτελέστατον, ὅτι φασὶ τὸ θεῖον ἀεὶ αἱρεῖται τὸ ἄριστον. Ἀλλ' εἰ μὲν δυνατὸς ἄλλος κρείττων, τὸν χείρονα εἵλετο. Εἰδ' ἐπίσης τέλειος, οὐδεὶς ἂν λόγος τὸ θεῖον τοῦτον μᾶλλον ἑλέσθαι, ἢ ἕτερον τῶν δυνατῶν ἐκίνησε. Καὶ ταῦτα μὲν Λεϊβνίτιος, καὶ Οὐόλφιος, ὃς οὐδ' ἄλλως ἂν ἔχειν παραχθῆναι τὸν κόσμον, ἢ ὡς παρήχθη, διϊσχυρίζεται, τῷ Σπινόζᾳ (Προτ. ΛΓ'. τοῦ μέρους τοῦ α'.) ἐν τούτῳ συνᾴδων. Ἀλλ' αὐτοὶ τὸν ὑφεστῶτα τοῦτον κόσμον ἄριστον εἶναι ἡγούμεθα, παρὰ τοῦτον δὲ καὶ πάντα ἄλλον, ὃν ἂν ἐκ τῶν ἀπείρων δυνατῶν ὁ Θεὸς παραγαγεῖν βούλοιτο, ἐπίσης ἀποφαινόμεθα ἄριστον· τοὺς δὲ λόγους, δι' οὓς τοῦτον τῶν λοιπῶν προείλετο, ἀνιχνεύσει πᾶς ὅστις τοσοῦτον γιγνώσκεσθαι, ὁποσονοῦν καὶ ζητεῖσθαι δυνατὸν εἶναι ὑπείληφε.

## Πρότ. ΜΒ'.

„Ὃ δ' ἀνήκει τῇ τῶν τοιούτων συστημάτων ὑπάρξει, τὸ ταῦτα μᾶλλον ἢ
„ἕτερα προελέσθαι πρὸς κατασκευὴν τοῦ ὑφεστῶτος κόσμου, τοῦτο κατὰ βου-
„λὴν τοῦ θείου νοῦ τοῦ αἰωνίου ἐγένετο.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΙΩΑΝΝΙΝΑ 2006

### Δεῖξις.

Τοῦτο γὰρ ἀπὸ τῆς βουλήσεως τοῦ αἰωνίου νοῦ ἤρτηται (Πρ. ΛΖ΄.). Ἡ δὲ βούλησις διορίζεται ὑπὸ τῆς βουλῆς, ἤτοι τοῦ τέλους (ὁρ. νε΄.).

### Πρότ. ΜΓ΄.

„Οὐδὲν ἐνδεχόμενον, ϗ ἑπομένως οὐδὲν τῶν ἐνδεχομένων σύστημα ἀναγ-
„καίως ὑπάρχει.

### Δεῖξις.

Ταῦτα γὰρ οὐχ ὑπάρχει δι᾽ οὐσιώδους προβλύσεως (Πρ. ΚΗ΄.), ἀλλὰ τοῦ αἰωνίου ϗ ὑπερτελοῦς ὄντος βουλήματι (Πρ. ΛΖ΄.), τοῦ μηδενὸς τῶν τοιούτων χρήζοντος (Πρ. ΙΕ΄.). Οὐδεμιᾷ ἄρα ἀνάγκῃ ταῦτα λαμβάνει τὴν ὕπαρξιν.

### Σχόλιον.

Ἐκ δὴ τούτου θραύεται ϗ ἑτέρα τοῦ Σπινόζου ἄκανθα (1) φάσκοντος, ἐξ ἀνάγκης τῆς θείας φύσεως ἄπειρα τρόποις ἀπείροις (ἤτοι ἅπαντα τὰ δυνατὰ ἅπασι τοῖς δυνατοῖς τρόποις) ἕπεσθαι, καὶ ἄλλη ἀλλαχοῦ λέγοντος (2), τὴν Θεοῦ δύναμιν ὅλην ἐνεργείᾳ εἶναι δεῖν, ϗ ταύτην ἀναιρεῖν, τὰς οἰομένους μὴ ἀντιστοιχεῖν τῷ θείῳ νῷ. Σημειωτέον ἀλλ᾽ οὖν ἐν τούτοις, ὡς οὐκ ἀπαναινόμεθα ὅτι, τεθέντος τοῦ διορισμοῦ τῆς θείας βουλήσεως, ἀνάγκη πᾶσα τὰ ὄντα λαβεῖν τὴν ὕπαρξιν, ἤτοι ἀνάγκῃ ὑποθετικῇ. Ἐφ᾽ οἷς ϗ προσθετέον, ὅτι τῇ αὐτῇ βουλήσει δύναται τὰ ὑφεστῶτα εἰς τὸ μὴ ὂν τραπῆναι, ἢ ἕτερα ἀντὶ τούτων εἰσενεχθῆναι.

### Πρότ. ΜΔ΄.

„Τόδε τὸ τοῦ παντὸς σύνταγμα, ὃ ϗ Φύσιν οἱ φιλοσοφοῦντες κατονο-
„μάζουσι, μέγα τι ἐστὶ σύστημα ἐκ πλειόνων ἁπλουστέρων συντεταγμένον.

### Σχόλιον.

Οἷον ἕκαστος στήμων τοῦ ἀνθρωπείου σώματος σειρά τις ἐστὶν ἢ ἐξ ἐλασσόνων ἄλλων σειρῶν, ἢ γοῦν ἐκ πλειόνων ἁπλουστέρων οὐσιῶν συναπηρτισμένη. Ἐκ πλειόνων στημόνων γίνεταί τι μέρος ὁλοκληροῦν ἢ φασὶ, κἀκ τούτων τὸ σῶμα· ἐκ δὲ δὴ σώματος ϗ ψυχῆς ἄνθρωπος, ϗ ἐκ πλειόνων ἀνθρώπων τὸ γένος. Ταυτὰ ῥητέον ϗ περὶ κτηνῶν, ϗ φυτῶν, ϗ ὀρυκτῶν σωμάτων, ἐξ ὧν συναρμολογεῖται τὸ τῆς οἰκουμένης ἡμῖν ταύτης σφαίρας τὸ μεῖζον σύστημα. Ἐκ μὲν

(1) Ἠθ. μέρ. Α΄. Πρ. ΙΕ΄. (2) Ἐν Σχολ. Πρ. ΙΖ΄. μέρ. Α΄.

Ε.Υ.Δ τμ. Κ.τ. ΙΩΑΝΝΙΝΑ 2006

εὖν πλειόνων μειζόνων συστημάτων, οἷον Γῆς, Σελήνης, Ἀφροδίτης, Ἑρμοῦ, Ἡλίου, ϗ τῶν ἄλλων, συγκροτεῖται τὸ Ἡλιακὸν σύστημα, ὃ ϗ Πλανητικὸν προσείρηται, ϗ ἐξ ἑπτακαίδεκα σωμάτων, ὧν τεταγμένη ϗ θέσις ϗ κίνησις, σύγκειται. Ἤδη δὲ ἐπεὶ τῶν ἀπλανῶν Ἀστέρων ἕκαστος, ἥλιός τις τυγχάνει ὤν, λόγος οὐ κοῦφος ἐπείγει ϗ περὶ ἕκαστον τῶν στερεῶν πλανητικὸν εἶναι σύστημα ἰδιάζον ὑπονοῆσαι, ϗ οὕτως ἐκ πλειόνων τοιούτων πλανητικῶν συστημάτων ἄλλα ἐφεξῆς μείζονα γίνεται, ἐξ ὧν τὸ πᾶν τοῦτο συναποτελεῖται, οὐ πάνυ βραχὺ νὴ Δία, εἴπερ ὀφθαλμοῖς μαρτυροῦσι πιστεύοιμεν, παμμέγεθες δὲ ϗ σχεδὸν ἀπέραντον, εἰ τῷ λόγῳ, πολλαπλοῦν μὲν τῇ ποικιλίᾳ, ἓν δὲ ϗ μοναδικὸν τῇ τάξει (1).

## Πρότ. ΜΕ′.

„Οἱ μηχανικοὶ τῆς φύσεως θεσμοί, οἷς τόδε τὸ πᾶν διϊθύνεται, τροπῇ „εἰσὶν ὑποκείμενοι.

## Δεῖξις.

Οἱ θεσμοὶ οὗτοι ἀφορῶσι τό,τε καθόλου σύστημα, ϗ τὰ κατὰ μέρος· ἅπαντα γὰρ τοῖς ἰδίοις μηχανικοῖς θεσμοῖς διεξάγεται (Πρ. Μ′.). Ἀλλὰ τούτων οὐδὲν ἀναγκαίως ὑφέστηκεν (Πρ. ΜΓ′.), οἱ δὲ θεσμοὶ ἐκ τῶν οὐσιῶν, καὶ τῶν ἐν αὐταῖς τάξεων ἐκπηγάζουσιν, ὑπουργοῦσί τε τῇ συνοχῇ τῶν τάξεων, ὡς τὸ δημιουργοῦ τέλος ἀπαιτεῖ (Πρ. Μ′.). Ἕπεται ἄρα τοὺς θεσμοὺς τουτουσὶ μὴ ὑπάρχειν ἀναγκαίως, ἀλλὰ τροπῇ ὑποκεῖσθαι.

## Σχόλιον.

Κἀντεῦθεν δῆλον ὅτι τοῦ Θεοῦ βουλομένου δύναται ἡ σειρά τις ὅλως ἀφαιρεθῆναι, ἢ γοῦν διαλιπεῖν. Ἐξ οὗ ῥᾷστα ϗ τὰ τεράστια ἀναπτύσσεται, περὶ ὧν τοσοῦτον ἠγωνίσαντο Λώκιος (2), Κλέρικος (3), Κλάρκιος (4), Λεϊβνίτιος (5). Ἐπὶ τούτοις δυνάμει τῶν Προτ. ΜΓ′. ϗ ΜΕ′. ἀπελέγχεται καὶ ἡ τοῦ Σπινόζου παραφροσύνη, ἐν οἷς φησιν, ὅτι τὰ ὄντα οὐδενὶ ἄλλῳ τρόπῳ, οὐδ' ἄλλῃ τάξει εἶχεν ὑπὸ Θεοῦ παραχθῆναι, ἢ ὡς παρήχθη.

---

(1) *Μέτιθι Βουρνέτ. Βιβλ. Β′. Θεωρ. τῆς γῆς Κ. ιχ.*

(2) *Διαλ. περὶ τεραστίων.*

(3) Περὶ ἀπιστίας.

(4) *Ἀπαντ. πρὸς Λεϊβνίτ.*

(5) *Ἐν τῇ Θεοδικ. ϗ ἀπαντ. πρὸς Κλάρκ.*

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Πρότ. Μς'.

„Ὑπάρχουσι νόμοι φύσεως ἠθικοί.

## Δεῖξις.

Τὸ γὰρ πᾶν μέγα τι ἐστὶ σύστημα, ἐξ ἑτέρων ἐλασσόνων συντεταγμένον (Πρ. ΜΔ'.). Ὑφέστηκε δὲ βουλήσει τοῦ αἰωνίου νοῦ (Πρ. ΛΖ'.) διὰ βουλὰς καὶ τέλη, ἃς προέθετο (Πρ. ΜΒ'.). Βούλεται ἄρα ὁ νοῦς ὁ αἰώνιος τὴν τάξιν τῆς φύσεως συντηρεῖσθαι, ἀπαγορεύει δὲ τὸ συνταράττεσθαι. Τῷ γοῦν βουλήματι τούτῳ τὰ λογικὰ κτίσματα πειθαρχεῖν, καὶ πρὸς αὐτὸ τὰς πλείους τῶν ἰδίων πράξεων ἀπιθύνειν (ἐπεὶ ὅ,τι ποτ' ἔχουσι λαβόντα παρὰ Θεοῦ ἐστὶ), προσῆκον ἅμα καὶ δίκαιον. Οὗτος δὲ φύσεως ἐστὶ θεσμὸς ἠθικός (ὁρ. λγ'.). Ὑφεστήκασιν ἄρα κτλ.

## Σχόλιον.

Τοὺς ἠθικοὺς νόμους, εἴτις τὴν πρόνοιαν οὐ παραδέχεται, οἷον εἰπεῖν ἀνὴρ Ἐπικούρειος, οὐκ ἂν ἀποδέξαιτο. Οἱ γὰρ Ἐπικούρειοι ὡς ὠφελίμους τοῖς ἀνθρώποις τοὺς νόμους ἐπιτεθῆναι ἐν τοῖς πρὸς τὸν βίον διϊσχυρίζονται. Ὅσοι δὲ θείῳ νεύματι τὸ πᾶν ἄγεσθαι εὐσεβῶς φρονοῦσιν, οὗτοι νόμον εἶναι αἰώνιον καὶ φυσικὸν οὐδενὶ λόγῳ δυνήσονται ἀποφῆναι, ὃ λαμπρῶς ὁ Κικέρων ἀποδείκνυσι (1).

## Πρότ. ΜΖ'.

„Θεῷ μὲν σέβας τε καὶ λατρεία, τοῖς δὲ ἄλλοις ἀγάπη, ἑαυτῷ δὲ φυ-
„λακὴ ὑπὸ παντὸς προσοφείλεται. Τρεῖς αὗται ἀρχαὶ τῆς τῶν τῆς φύσεως
„ἠθικῶν νόμων ἐπιγνώσεως.

## Δεῖξις.

Τῇ γὰρ ἐξοχωτάτῃ Φύσει σέβας ὀφείλεται, ὡς δῆλον· φύσις δὲ τηλικαύτη τὸ θεῖον (Πρ. ΙΕ'.). Ἁπάντων γὰρ ὢν δημιουργὸς ὁ Θεὸς (Πρ. ΙΓ'. καὶ ΚΘ'.), αὐτός ἐστιν ὁ πανυπέρτατος κύριος. Ἄρα τούτῳ ὑπὸ παντὸς σέβας τε καὶ λατρεία ὀφείλεται. Ο. Η. τὸ Α'.

Εἶτα ὁ αἰώνιος βούλεται λόγος τὰ γεγονότα καὶ τὴν ἐν αὐτοῖς τεθεῖσαν τάξιν συντηρεῖσθαι (Πρ. Μς'.)· πρὸ δὲ πάντων τὸν ἄνθρωπον· ὁ δὲ ἄνευ τοῦ κοινωνικοῦ οὐκ ἂν σώζοιτο, οὐδὲ τὸ κοινωνικὸν ἐν ἀνθρώποις ἄνευ τῆς πρὸς ἀλλήλους ἀγάπης, ὡς δῆλον. Προσοφείλεται ἄρα τοῖς ἄλλοις ἀγάπη. Ο. Η. τὸ Β'.

Τελευταῖον ὁ ἄνθρωπος μέρος τοῦ παντὸς τυγχάνει, ὃ καὶ τούτου ἕνεκα τὸ

---

(1) Βιβλ. Α'. περὶ νόμων.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ... Ε.Υ.Δ τηρ.Κ τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

θεῖον συνέχεσθαι βȣ́λεται. Προσοφείλει ἄρα ἑαυτῷ φυλακὴν τὴν ἑαυτȣ̃ ὁ ἄνθρωπος. Ο. Η. τὸ Γ'.

## Σχόλιον.

Αἱ τοίνυν ἀρχαὶ αὗται αἱ τρεῖς ἅπασαν τὴν τῶν φυσικῶν νόμων διδασκαλίαν ἐμπεριέχȣσι. Δείκνυνται δὲ τῇ ἀρχῇ ταύτῃ, ὅτι ὁ τȣ̃ παντὸς δημιȣργὸς βȣ́λεται τὸ πᾶν συντηρεῖσθαι. Οὐδεὶς οὖν ἀγνοεῖ τὴν Θεȣ̃ βȣ́λησιν ἀρχὴν εἶναι τῶν ἃ φύσει τηρεῖν ὀφείλομεν· τάς τε προτεθείσας τρεῖς ἀρχὰς εἶναι διαγνωστικάς, ἥ φασι, τῶν νόμων τῆς φύσεως, παντὶ φανερώτατον, ὃ καὶ πρὸς τὸ ἀπελέγχειν τȣ̀ς Καρνεάδȣς καὶ Ὀ'ββεσίȣ ὀπαδȣ̀ς ἅλις ἔχει (1).

## Πρότ. ΜΗ'.

„Οἱ τῆς φύσεως ἠθικοὶ νόμοι, οἱ ἀφορῶντες ἡμᾶς αὐτȣ̀ς, ἢ τὴν μετὰ „τῶν ἄλλων κοινωνίαν, ἢ τὰ ἄλλα τῆς κτιςῆς φύσεως ὄντα, τρεπτοί εἰσιν· οὐχὶ „δὲ καὶ οἱ πρὸς τὴν φυσικὴν θρησκείαν τείνοντες, ἤτοι πρὸς τὸ ὑπὸ τῆς κτιςῆς „φύσεως τῷ Θεῷ προσοφειλόμενον σέβας.

## Δεῖξις.

Ἐκεῖνοι γὰρ οἱ πρότεροι τῇ ὑπάρξει τȣ̃ καθόλȣ, ἢ τῶν κατὰ μέρος συςημάτων, ἐξ ὧν ἐκεῖνο, προσεπανήκȣσιν. Ἡ δὲ ὕπαρξις αὕτη ἐνδεχομένη (Πρ. ΙΗ'. καὶ ἀλλ.)· οἵ τε φυσικοὶ θεσμοὶ τρεπτοὶ (Πρ. ΜΕ'.), τρεπτοὶ δὲ καὶ οἱ ἠθικοὶ νόμοι οἱ ἐκείνῃ προσήκοντες.

Εἶτα οἱ ἐφεξῆς νόμοι ἐν τȣ́τῳ κεῖνται, ὅτι ἡ δημιȣργητὴ φύσις ἀπὸ τῆς Δημιȣργȣ̃ ἤρτηται. Ἐπεὶ δὲ τȣ̃το ἀναγκαῖον, ἄρα καὶ οἱ νόμοι ȣ̃τοι ἀτρέπτως ἔχουσι.

## Σχόλιον.

Οἱ φυσικοὶ νόμοι ȣ̓ φονεύσεις, ȣ̓ μοιχεύσεις, ȣ̓ κλέψεις, καὶ οἱ παραπλήσιοι, τὴν τῆς ἐν ἀνθρώποις κοινωνίας ἀφορῶσι συντήρησιν. Ἐπεὶ δὲ γένος τι, ἢ καὶ ἅπαν ἀνθρώπων τὸ θεῖον δύναται ἐξαφανίσαι, οὐδενὸς τῶν ἐνδεχομένων ἀπολύτῳ ἀνάγκῃ ὑπάρχοντος (Πρ. ΜΓ'.), δύναται δήπȣ καὶ τȣ̀ς νόμȣς τȣ́τȣς κατὰ τȣ̀ς αἰωνίȣς νόμȣς μεταβαλεῖν. Ἀλλ' ἐπεὶ ὁ κελεύων νόμος ἵνα τὸ κτίσμα τὸν κτίςην σεβάζοιτο, τȣ́τον ἀγαπῴη κτ:, τὴν ἀπὸ τȣ̃ κτίςȣ ἀρχὴν ἀ-

(1) Μέτιθι Γρότιον ἐν προλεγ. περὶ δικαιώμ. Π. καὶ Ε. Καὶ Πυφενδόρφιον πέρ. δικαιώ. Φύσ. καὶ Ἐθν. Βιβλ. Β'. Κεφ. ΙΓ'.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΙΩΑΝΝΙΝΩΝ Ε.Υ. Δ.Υ.Γ. Κτ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

φορᾷ τȣ̃ κτίσματος, ἥτις ἀτρέπτως ἔχει, ὡς ἀδύνατον ὂν τὸ ἐνδεχόμενον μὴ ἀπὸ τȣ̃ αἰωνίȣ ἠρτῆσθαι, ἔνθεντοι ϗ ὁ τοιȣ̃τος νόμος ἄτρεπτος πάντη ἐς̏ί.

## Προτάσεις τȣ̃ Δ'. Κεφ. ἐπαναγόμεναι.

### Πρότ. ΜΘ'.

„Τὰ τῷ αὐτῷ ταυτὰ ϗ ἀλλήλοις εἰσὶ ταυτά. Ὅσα δὲ ἔχει τινὰ ταυτὰ „τῷ αὐτῷ τρίτῳ, ἐκεῖνα ἔχει ταυτὰ ϗ ἀλλήλοις. Καὶ τὰ τρίτῳ ὅμοια, ϗ ἀλλήλοις.

### Σχόλιον.

Καθ' αὑτὸ δῆλον, ϗ τοῖς πᾶσι δεκτὸν τὸ ἀξίωμα. Οὐδὲν δὲ παραβλάπτει τὸ ὑπὲρ λόγον τῆς Τριάδος μυς̏ήριον, ὅ,τι ἂν οἱ Σκεπτικοὶ παρὰ Βαϊλίῳ (1) διϊσχυρίζοιντο. Α'. γὰρ τὰ τρία θεαρχικὰ πρόσωπα ταυτά εἰσι τὴν οὐσίαν, καθ' ἣν κοινωνȣ̃σιν, ȣ̓χὶ δὲ τὰς ὑπος̏άσεις, καθ' ἃς διακρίνονται. Εἶτα ἐξ ὧν ἔχομεν περὶ τὰ καθ' ἡμᾶς ἰδεῶν, ϗ περὶ τῆς ἀκτίς̏ȣ φύσεως ἀποφαίνεσθαι, σφαλερὸν ȣ̓χ ἧττον, ἢ αὔθαδες. Περὶ τȣ́τȣ ἄρις̏α συγγέγραπται τῷ Οὐετίῳ περὶ ὁμονοίας λόγȣ ϗ πίς̏εως. Κεφ. Α'. Δ'. ϗ Ε'. Βιβλ. Α'.

### Πρότ. Ν'.

„Τὰ μόνῳ τῷ λόγῳ διαιρȣ́μενα τὴν αὐτὴν ἔχει οὐσίαν.

### Δεῖξις.

Εἰ γὰρ ἑτέραν, διακριθήσονται πραγματιωδῶς.

### Πρότ. ΝΑ'.

„Τὰ τὴν αὐτὴν ἔχοντα πραγματιώδη οὐσίαν, πραγματιωδῶς ȣ̓ πεφύ„κασι διακρίνεσθαι.

### Σχόλιον.

Ἐπὶ τȣ̃ ἀκατανοήτȣ μυς̏ηρίȣ διακριτέον ἐφ' ἑκάς̏ȣ προσώπȣ τὴν ὑπέρθεον φύσιν, τȣ̃ προσιδιάζοντος τῇ ὑπος̏άσει. Ἡ μὲν γὰρ κοινὴ ἡ αὐτὴ τοῖς τρισὶ, τὸ δὲ ἴδιον. Ἔνθεντοι ϗ τὴν φύσιν ȣ̓ διακρίνεται, τὴν δὲ ὑπός̏ασιν ϗ μάλαγε.

Ἐφ' ᾧ δὲ ἀπὸ τῶν ἀῤῥήτων ἐπὶ τὰ καθ' ἡμᾶς καταχθῶμεν, εἴρηται τὰ τὴν αὐτὴν ἔχοντα πραγματιώδη οὐσίαν, ὡς ἄλλως δυνατὸν ὂν δύο κύκλους πραγματιωδῶς μὲν διακεκρίσθαι ἀλλήλων, ὀνοματώδη δὲ ȣ̓σίαν τὴν αὐτὴν ἔχειν.

---

(1) Ἐν Λεξικ. ἱς̏ορ. κριτ. Ἄρθ. Πύῤῥων.

## Πρότ. ΝΒ.

„Ἣν τὰ μαθηματικὰ ἐξέλης, ὧν αἱ οὐσίαι ὀνοματώδεις εἰσὶν, ἄχρι τί-
„νος τὰ ὄντα ἀλλήλοις συμφωνοῦσιν, ἢ διαφέρουσιν (εἰμὴ ἐν πάνυ βραχυτά-
„τοις, καὶ μάλιστα ἐν τοῖς ἁπλουστάτοις τρόποις), οὐκ ἴσμεν.

## Δεῖξις.

Τὰς ὀνοματώδεις οὐσίας εἰδέναι τε καὶ σταθμᾶσθαι ἔστι διὰ τῶν ὁρισμῶν τῶν φωνῶν ὡς δῆλον. Οὐδὲν ἄρα κωλύει ταύτας εἰδέναι ἄχρι τίνος συμφωνοῦσιν, ἢ διαφέρουσι. Τοιαῦτα δὲ τὰ μαθηματικά.

Τὰς γε μὴν πραγματιώδεις οὐσίας τῶν ἄλλων πραγμάτων ἀγνοοῦμεν (τοῦτο δὲ εἰλικρινῶς τοῖς φιλοσοφοῦσιν ὁμολογεῖται). Οὐκ ἄρα δυνάμεθα σταθμήσασθαι, τίσιν ἀλλήλοις συμφώνως ἔχουσι, καὶ τίσι διαφωνοῦσι.

Τελευταῖον τῶν ἁπλουστάτων τρόπων, τοὐλάχιστον τινῶν, τὰς πραγματιώδεις οὐσίας ἐφικνέμεθα. Καὶ εἰδέναι ἄρα δυνάμεθα τίσι ποτὲ κοινωνοῦσι, καὶ τίσι διενηνόχασι.

## Σχόλιον.

Ταύτῃ τοι τοῖς περὶ τὰ μαθήματα ἀσχολουμένοις ἀσφαλεῖς περὶ τῶν τοιούτων αἱ ἀποφάνσεις. Οἷον ἐκτὸς κεῖται ἀμφιβολίας τὸ παραλληλόγραμμον, τὸ ἐπὶ τῆς αὐτῆς βάσεως, καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις, διπλάσιον εἶναι τοῦ τριγώνου. Καὶ οὕτω δῆλαι αἱ δύο τοῦ τριγώνου πλευραὶ, καὶ ἡ ὑπὸ τούτων περιεχομένη γωνία, οὐκ ἂν ἄδηλος εἴη τούτῳ καὶ ἡ λοιπὴ πλευρὰ, ὡς οὐδὲ αἱ λοιπαὶ δύο γωνίαι. Ὁπηνίκα μέν τοι οὐσίας οὐσίαις, καὶ δυνάμεις δυνάμεσι, καὶ τελειότητας τελειότησι παρατιθέμεθα, ὀλοίμην, εἴτις ἐπὶ τούτοις (ὀλιγίστων ἐξαιρουμένων) ἀποφάνσεις ἀσφαλεῖς ἔχει δοῦναι. Διὸ δὴ καί τοι ἡ κατὰ γένος Φυσιολογία διὰ τῆς Μαθηματικῆς ἄπλετον τὸ φῶς εἴληφε, καὶ οὐκ ὀλίγον ἐπήυξηται, ὥστε καὶ νόμους, καὶ κανόνας γεωμετρικῶς ἀποδεδειγμένους παρασχεῖν, οὐμὴν ἀλλ' ἡ κατ' εἶδος Φυσιολογία, ἅτε δὴ ἔγγιον αὐτοῖς τοῖς πράγμασι γινομένη, παρὰ τὴν τῶν φαινομένων ἱστόρησιν οὐδὲν, ὅπερ ἀσφαλὲς ἂν εἴη, περιενήνοχε.

## Πρότ. ΝΓ.

„Τὰ ἀντικείμενα μέσον οὐκ ἔχει. Διὸ καὶ τῶν ἀντικειμένων ἀποφάνσεων
„θατέρας ἀληθευούσης, θατέραν ἐπάναγκες ψεύδεσθαι.

Ε.Υ.Δ.Ε.Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

## Σχόλιον.

Ἀκριβῶς δὲ βασανιστέον εἰ τῷ ὄντι ἐστὶν ἀντικείμενα. Οἷον οἱ περὶ Καρτέσιον τὴν διανοοῦσαν οὐσίαν, καὶ τὴν ἐκτεταμένην οὕτως ἀλλήλαις ἀντικεῖσθαι ὑπειλήφασιν, ὡς μηδὲ εἶναι δυνατὴν ὅλως οὐσίαν, τὴν μὴ ἐπὶ θατέραν ἐκείνων ὡς ἐπὶ γένος ἀναγομένην. Ἐν οἷς μέγα τι καὶ ἐπηρμένον περὶ ἑαυτῶν φρονοῦντες, ὑπερφρονεῖν πως δοκοῦσι τῆς Θεοῦ σοφίας τε καὶ δυνάμεως. Ἔοικε γὰρ τὰς οὐσίας ἐκείνας διῃρῆσθαι μὲν ἀπ' ἀλλήλων, μηδαμῶς δ' ἀντικεῖσθαι.

## Πρότ. ΝΔ'.

„Πᾶσα διαίρεσις ἡ ἔν τισι χωροῦσα, κἂν μηδεὶς νοοίη, ἢ ἔστιν, ἢ οὐκ ἔστιν. „Εἰσὶ γὰρ ταῦτα ἀντιφάσκοντα ὡς δῆλον. Καὶ μέσον ἄρα ἐν τούτοις οὐδέν, „θατέρου δ' ἀληθῶς ἔχοντος, θάτερον ψεύδεσθαι πᾶσα ἀνάγκη (Πρ. ΝΓ'.).

## Πρότ. ΝΕ'.

„Ἡ εἰδικὴ διαίρεσις φωνὴ ψιλὴ τυγχάνει οὖσα, μηδὲν πραγματιῶδες „σημαίνουσα.

## Δεῖξις.

Πᾶσα γὰρ διαίρεσις, καὶ μηδενὸς νοοῦντος, ἢ ἔστιν, ἢ οὐκ ἔστι (Πρ. ΝΔ'.). Καὶ ἡ μὲν πρώτη ἐστὶ πραγματιώδης (ὁρ. λς'.)· ἡ δὲ δευτέρα κατ' ἐπίνοιαν (ὁρ. λζ'.). Ἐπεὶ δὲ τούτων μεταξὺ μέσον οὐκ ἔστιν, ἑπόμενον ἐστὶ τὴν εἰδικὴν διαίρεσιν, τὴν ἐκείνων μεταξὺ ὑποτιθεμένην, καὶ ἐπὶ μηδετέρᾳ ἀνήκουσαν (ὁρ. λη'.), φωνὴν εἶναι, κτ:.

## Σχόλιον.

Τοιαύτην οἱ σοφοὶ πάντες, ἣν τοὺς ἀμφὶ Σκότον ἐξέλεγε, τὴν εἰδικὴν ἡγοῦνται διαίρεσιν. Ἰβενῖνος δὲ ὁ θεολόγος, εἰ κατὰ τοὺς Σκοτιστὰς ἐκ τῆς φύσεως τοῦ πράγματος ἐστὶν ἡ διαίρεσις, αὕτη πραγματιώδης ἐστί, φησίν, αὐτόχρημα (1).

## Προτάσεις ἐπὶ τὸ Ε'. Κεφ. ἀνήκουσαι.

## Πρότ. Νς'.

„Πᾶν ὂν ἔστιν ἕν, εἴτε ἁπλοῦν, εἴτε σύνθετον. Ἔστιν ἀξίωμα τοῖς φι„λοσοφοῦσι κοινόν.

---

(1) Ἰβενῖνος μέρ. Α'. Εἰσηγ. θεολ. διαλ. Γ'. ζητ. Δ'.

Ε.Υ.Δ της Κ.τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

## Πρότ. ΝΖ'.

„ Ἀντιφάσκουσα ἐστὶν εἰκὼν ὄντος, ἥτις εἴη καθόλου.

## Δεῖξις.

Καὶ γὰρ ἅπαν ὂν ἐστὶν ἕν (Πρ. Νς'.). Παντὸς ἄρα ὄντος ἡ εἰκὼν ἕν τι παρίστησιν. Ἀντιφάσκουσα ἄρα ἐστὶν εἰκὼν καθόλου, ἥτις δηλονότι καὶ μία εἴη, καὶ πολλὰ παριστάνοι νοητά. Τῷ ὄντι δὲ, τίς ἂν ἔχοι νοῆσαι τῇ αὐτῇ εἰκόνι πλείους ἀνθρώπους παρίσταθαι;

## Πρότ. ΝΗ'.

„ Εἴπερ τῇ τῆς ἰδέας φωνῇ τὰς τῶν ἐκτὸς ἡμῶν πραγμάτων εἰκόνας ὑ-
„ ποσημαίνοιμεν, καὶ ταύτας τῶν νοερῶν ἐπιβολῶν διακρίνοιμεν, οὐδεμία ἔσαι
„ ἰδέα καθόλου.

## Δεῖξις.

Οὐδεμία γὰρ δυνατὴ εἰκὼν καθόλου (Πρ. ΝΖ'.). Εἰσὶ δὲ αἱ ἰδέαι εἰκόνες τῶν ἐκτὸς πραγμάτων (ἐξ ὑποθ.)· οὐ πεφύκασιν ἄρα εἶναι καθόλου.

## Σχόλιον.

Κοινῇ μικροῦ τοῖς Νεωτέροις πᾶσι τὸ δόγμα πρεσβεύεται. Ἀλλὰ γὰρ πότερον αἱ ἰδέαι ἐπιβολαὶ νοῦ τυγχάνουσιν, ἢ γοῦν εἴδη τῶν ὄντων νοερὰ τῶν ἐπιβολῶν τοῦ νοῦ διακεκριμένα; Ἐν τούτῳ οἱ φιλοσοφοῦντες ἥκιστα συνᾴδουσι. Τῷ μὲν οὖν Λωκίῳ (1) τὸ αὐτό ἐστιν ἐπιβολὴ καὶ ἰδέα, ᾧ τινι καὶ τὸν νοῦν πάθημά τι εἶναι τοῦ σώματος φρονοῦντι (2)· αἱ νοῦ ἐπιβολαὶ κινήσεις αἰσθήσεσι καὶ ἐγκεφάλῳ ἐμποιούμεναι εἰσὶν, ὃ καὶ Ὠββεσίῳ ἐδόκει (3), τῷ Λωκίῳ συνδυσσεβοῦντι. Ἀλλὰ καί τινες τῶν ἀμφὶ Καρτέσιον τὰς ἰδέας ταῖς νοεραῖς ἐπιβολαῖς συνέφυραν, οἳ καὶ τὰς ἰδέας ἡμῶν ἐξ ἀφορμῆς τῶν αἰσθημάτων διηνεκῶς ἐν τῷ νῷ ὑπὸ Θεοῦ παράγεσθαι ὑπειλήφασιν. Οἱ δὲ βέλτιον τὰς τῶν αἰσθήσεων, καὶ τοῦ ἐγκεφάλου κινήσεις τῶν νοερῶν ἐπιβολῶν διακρίνοντες, ἐκείνας εἶναι ἰδέας ὑπέθεντο. Καίτοι χαλεπὸν καὶ τούτοις ἐστὶν ἀναπτύξαι, ὅπως αἱ τηλικαῦται κινήσεις, μηδὲν ὅμοιον ἔχουσαι, τὰ ἐκτὸς παριστῶσιν. Ἀλλὰ περὶ τούτων ἐν ἄλλοις ἁβρότερον.

---

(1) Βιβλ. Β'. Κεφ. Η'. §. ζ'. καὶ η'.

(2) Περὶ λογικοῦ χριστιανισμοῦ τόμ. Α'. Κεφ. Α'. καὶ Β'.

(3) Ἐν Λεβιαθὰν μέρ. Α'. Κεφ. Γ'. καὶ Δ'.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Πρότ. ΝΘ'.

„Οὐκ ἀντιφάσκει τὰς τοῦ νοῦ ἐπιβολὰς εἶναι καθόλου.

## Δεῖξις.

Ἐπιβολὴν καθόλου ἀποκαλῶ ἐνέργειαν νοῦ μοναδικήν τε ϗ συνεχῆ, ἥτινι πλείω τινὰ, ἢ γοῦν πλείους ἰδέας (ἣν αὗται τῶν ἐπιβολῶν διακρίνοιντο) περιλαμβάνει. Τοιαύτη δὲ νοῦ ἐνέργεια οὐκ ἔστιν ἀδύνατος, οἷά που ἐνδοτάτῃ συνειδήσει σφίσιν αὐτοῖς σύνισμεν, μιᾷ ἐπιβολῇ νοῦ πλείω ἅμα ϗ κατὰ τὸ αὐτὸ παριστάνουσιν. Ἄρα οὐκ ἀντιφάσκει κτ:.

## Σχόλιον.

Διεῖλε μὲν Οὔολφιος τὰς ἰδέας ἀπὸ τῶν ἐπιβολῶν διακρίνας· ἀλλ' ἑκάστην ἰδέαν τῶν καθ' ἕκαστα οὖσαν ἑκάστῃ ἐπιβολῇ νοεῖσθαι ὑπειληφὼς, τὰς καθόλου νομιζομένας ἐπιβολὰς πλείστας εἶναι ἐπιβολὰς νοῦ μεγίστῃ ταχύτητι γινομένας, αἷς αἱ παραπλήσιαι ἰδέαι παρίστανται, ὑπέθετο. Οἱ δὲ ἀμφὶ τὸν Ὠββέσιον, τὰς καθ' ἡμᾶς ἐπιβολὰς τοῦ νοῦ κινήσεις εἶναι ἐνεγειρομένας ταῖς γε αἰσθήσεσι ϗ τῷ ἐγκεφάλῳ ἡγούμενοι, ἐπειδὴ τὰς κινήσεις ταύτας εἰς ἕν τι ἀπολήγειν τοῦ ἐγκεφάλου μέρος (ὃ κοινὴν αἴσθησιν ἀποκαλοῦσι) βούλονται, αὐτὸ τοῦτο ἐπιβολὴν καθόλου κατονομάζουσι.

## Πρότ. Ξ'.

„Ἐὰν οὐσίαι δύο ἐκτεταμέναι παντελεῖ συνειχωρήσει ἀλλήλαις συ-„νειχωρήσωσιν, ἔσονται μία ϗ ἡ αὐτὴ οὐσία.

## Σχόλιον.

Τί τούτου σαφέστερον; Τίς γὰρ ἂν εἴποι σφαίρας δύο ἰσομεγέθεις τὰς Α ϗ Β, ἤν γ' ἐπὶ τὸ αὐτὸ ἀλλήλαις συνειχωρῶσι, διακεκριμένας εἶναι; Μέτιθι Λώκιον Βιβλ. Β'. Κεφ. ΚΖ'. Πάντως εἰ ἐκτάσεις δύο δι' ἀλλήλων χωροῦσαι εἰσὶν ἡ αὐτὴ ἔκτασις, ϗ οὐσίαι δύο ἐκτεταμέναι δι' ἀλλήλων χωροῦσαι εἰσὶν ἡ αὐτὴ οὐσία.

## Πρότ. ΞΑ'.

„Οὐσίας κτιστῆς δοθείσης ἐπ' ἄπειρον πανταχόθεν ἐκτεταμένης, οὐδεμία „ἄλλη οὐσία ἐκτεταμένη δυνατὴ ἔσται.

## Δεῖξις.

Εἰ γὰρ δυνατὴ ἄλλη, ἀνάγκη πᾶσα ταύτην διὰ τῆς δοθείσης ἀπείρου χωρῆσαι. Αἱ δὲ δι' ἀλλήλων χωροῦσαι μία εἰσὶν οὐσία (Πρ. Ξ'.). Ἄρα κτ:.

Ε.Λ.Α. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἔνθεν τοι ϗ οἱ τὴν ἐκτεταμένην οὐσίαν ἄπειρον ἐν τῷ παντὶ ὑποτιθέμενοι, τὰ λοιπὰ δίκην τρόπων τῆς τοιαύτης οὐσίας, εἰ σύμφωνα δοξάζειν ἔμελλον, ἔχειν ἠπείχθησαν.

## Πρότ. ΞΒ'.

Αἱ ἐκτεταμέναι ὀσίαι, αἱ ἀλλήλων διακεκριμέναι, δι' ἀλλήλων χωρεῖν οὐ „ πεφύκασι.

### Δεῖξις.

Εἰ γὰρ ἐχώρουν, ἦσαν ἂν μία ϗ μόνη οὐσία (Πρ. Ξ'.), καὶ τραπείη ἂν εἰς τὸ μὴ ὂν ἡ ἑτέρα. Ἐπεὶ δὲ τῦτο ἀδύνατον (Πρ. Λ'.), ἄρα κτλ.

## Πρότ. ΞΓ'.

„ Οὐδεμία ἐςὶν ἐν τῷ παντὶ οὐσία κτιςὴ ἐπ' ἄπειρον ἐκτεταμένη.

### Δεῖξις.

Εἰ γὰρ ἐςὶ, μία ἄρα ἐν τῷ παντὶ ἡ οὐσία (Πρ. ΞΑ'.). Οὐκ ἔςι δὲ μία (Πρ. ΚΓ'.)· ἄρα οὐδεμία, κτλ.

Παρὰ ταῦτα ϗ δοθεῖσα ἁπλῆ ἔςαι (Πρ. ΚΒ'.), καὶ ἀδιαίρετος, ὅπερ ὐδ' οἱ ἐκείνην εἰσάγοντες ἀπαναίνονται, καὶ ἀκίνητος, ἧς οὐδὲ μέρος κινηθῆναι ἔχει, μὴ ἐχύσης ὡς ἀδιαιρέτυ, ὐδὲ τὸ ὅλον ὡς ἀπείρυ. Ἐπειδὴ δὲ προφανῶς τὰ σώματα κινεῖται ϗ διαιρεῖται, ὐκ ἄρα τὰ σώματα μέρη τῆς τηλικαύτης οὐσίας ἐςὶν, οὐδὲ ταύτῃ τῇ οὐσίᾳ ταυτίζεται· ἄρα ὐδὲ δι' αὐτῆς χωρήσουσι (Πρ. Ξ'.). Τί τοίνυν; ἢ ἐκτὸς ἔςαι τὰ σώματα τῆς οὐσίας ταύτης, ἢ γῦν ἡ τοιαύτη οὐσία οὐδαμῶς ὑφέςηκεν. Ἐπεὶ δὲ τὸ Α'. ἀδύνατον, ὡς δῆλον, ἕψεται ἄρα τὸ Β'.

### Σχόλιον.

Ἡ δόξα τῦ οὐσίαν τινὰ εἰς ἀπέραντον ἐκτεταμένην ὑφίςασθαι ϗ πολλοῖς τῶν ἀρχαίων διεπρεσβεύετο, ϗ ὅτι πλείςοις τῶν νεωτέρων. Τὸ γὰρ διάςημα τὸ πραγματιῶδες, ϗ ἄπειρον, ϗ ἁπλῦν, ϗ ἀκίνητον, καὶ ἀδιαίρετον, εἰ χρὴ πιςεύειν Ῥαφσώνῳ (1), ϗ Αἰγύπτειοι, ϗ Πέρσαι, οἵτε Καββαλιςαὶ, ϗ πάντες μονονὺ οἱ παρ' Ἕλλησι φιλοσοφῦντες ἠσπάσαντο, ϗ μάλιςα οἵτε Πυθαγόρειοι, ϗ Ἐλεατεῖς, ϗ Δημοκρίτειοι, ϗ Ἐπικύρειοι, οἷς τισι ϗ οἱ μεγαλώνυμοι οὗτοι ἐν νεωτέροις Γασσένδος, Μόρος, Λώκιος, Νεύτων, Γραβεζάνδιος, Μυσχεμβροέκιος, συνθέσθαι λέγονται. Ἀλλ' ἐν μέρει

(1) Ἐν τῇ ἀποπείρᾳ περὶ διας. ἀπείρ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ... ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΩΝ ΝΕΩΝ ΧΡΟΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ... ΙΩΑΝΝΙΝΑ 2006

παραλειφθέντων τῶν ἀρχαιοτέρων ἐκείνων, ὧν καὶ τὰς δόξας τυχὸν ἐπ' ἀκριβὲς οὐκ ἴσμεν, θαυμάσαι ἔπεισι τοὺς Νεωτέρους δὴ τούτους, πῶς οὐ προσέσχον τὸν νοῦν τούτῳ δὴ τῷ προδηλοτάτῳ, ὅτι ἢν δοθῇ ἡ ἀπέραντος αὕτη ἔκτασις, καὶ ἀκίνητος, καὶ ἀδιαίρετος, μόνη αὕτη ἔσται ἐν τῷ παντὶ ὑφεστῶσα οὐσία; Εἶτα καὶ ὅτι αἱ λοιπαὶ ἐκτάσεις, αἱ δὴ ἐκείνης χωροῦσαι, οὐκ ἂν εἶχον οὐδὲ κινεῖσθαι, οὐδὲ μὲν οὖν διαιρεῖσθαι, ἐκείνης ἀκινήτου τε καὶ ἀδιαιρέτου ὑποτεθείσης; Γ. ὅτι οὐκ ἂν εἶχον αἱ τῶν σωμάτων ἐφελκύσεις τελεῖσθαι διὰ μέσου ἀκινητοῦντος; Ἀλλὰ γάρ μοι τῷ νῷ οὐδὲ τοῦτο ὑπέρχεται, πῶς τοὺς πάλαι Ἐλεατεῖς, καὶ ὅσους ἄλλους τὴν καθόλου ἐκείνην οὐσίαν εἰσάγοντας, τοῖς ἀθέοις οἱ θεολογοῦντες συγκαταλέγουσι (1), τοὺς δὲ νεωτέρους τούτους εὐσεβεῖς καὶ χριστιανοὺς νομίζουσι, τὸ δὲ πλέον ὅτι καὶ διὰ τοῦ συστήματος αὐτῶν θαυμασίως τὴν Σπινόζου κακοδαιμονίαν ἐκσυρίττεσθαι ὑπειλήφασι (2); καὶ τοὺς μὲν ἀμφὶ Σκότον σχεδὸν Σπινοζίτας ἔχουσι (3), τὸ καθόλου πραγματιῶδες εἰσηγουμένους, οὐσίαν τινὰ δηλονότι πράγματι μὲν μίαν, εἰδικῶς δὲ πολλαπλῆν, ὃ καὶ πρὸς ἀθεϊσμὸν εὐθὺ φέρειν ὑπείληφεν ὁ Βουδδαῖος (4), Μόρον δὲ, καὶ Κλάρκιον, καὶ Νεύτωνα, τοὺς τὸ διάστημα αὐτὸ αὐτὴν εἶναι τὴν Θεοῦ οὐσίαν δεῖξαι ἐπειγομένους, εὐσεβῶς φιλοσοφεῖν ἀποφαίνονται;

## Προτάσεις ἐπὶ τὸ ϛʹ. Κεφ. ἀνατιθέμεναι.

## Πρότ. ΞΔʹ.

„Δύναμις καὶ ἕξις τῆς οὐσίας, ἤτοι πρώτου τινὸς ὑποκειμένου, τυγχάνουσιν „ἴδια. Δοθείσης ἄρα δυνάμεως, ἢ ἕξεως, καί τι πρῶτον αὐτῆς ὑποκείμενον „δίδοσθαι πᾶσα ἀνάγκη. Ἐνταῦθα μέντοι διαιρετέον ἀκριβῶς τὸ ὑποκείμενον „τῆς ἐνεργείας τοῦ ὑποκειμένου τῆς ἐνεργούσης δυνάμεως. Οἷον τὸ χειρὶ, φέρ' „εἰπεῖν, κινούμενον σῶμα ὑποκείμενον μέν ἐστι τῆς ἐνεργείας, οὐχὶ δὲ καὶ τῆς δυ„νάμεως, ἀφ' ἧς ἡ ἐνέργεια, ἀλλ' ἡ χείρ.

---

(1) *Μένιθι Βουδδ. περὶ ἀθε. καὶ δεισι. Κεφ. Αʹ. Παρκερος περὶ Θεοῦ· καὶ Κουδβόρτιος ἐν τῷ Συστ. τῷ νοερῷ.*

(2) *Βαιλ. ἐν τῷ Λεξ. Ἄρθ. Λεύκιπ.*

(3) *Αὐτ. Ἄρθ.* Ἀβελάρδος *καὶ Κουσαλπῖνος.*

(4) *Περὶ ἀθε. Κεφ.* Αʹ. §. 23.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006